# Ὁσιομάρτυς Νικόδημος εκ Βιθκουκίου 11-7-1722.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου, ἐνδόξου νέου Ὁσιομάρτυρος Νικοδήμου, τοῦ ἐκ Βιθκουκίου ἐν Βερατίῳ ἀθλήσαντος.




Ὁ ἔνδοξος νέος τοῦ Χριστοῦ Ὁσιομάρτυς Νικόδημος, κατὰ κόσμον Νικόλαος, τὴν καταγωγὴν μᾶλλον Ἀρβανίτης, ἦν ἐκ Βιθκουκίου Μοσχοπόλεως, ἀνήκοντος τῇ ἐπαρχίᾳ τοῦ Ἁγίου Καστορίας. Χριστιανὸς ὢν μετεκόμισε πανοικεὶ ἐν χρόνῳ ἀγνώστῳ εἰς Βεράτιον, ἔνθα ἤσκει τὸ ἐπάγγελμα τοῦ ῥάπτου.

Συναναστρεφόμενος ἀλλοπίστοις καὶ ἀσθενικὴν ἔχων εἰς Χριστὸν πίστιν Αὐτὸν ἠρνήσατο μεθ' ὅλης αὐτοῦ τῆς οἰκογενείας. Μοναδικὴν ἐξαίρεσιν ἀπετέλεσεν ἓν αὐτοῦ τέκνον ἀποσταλὲν ὑπὸ τινων χριστιανῶν εἰς Ἅγιον Ὄρος.

Μεταβὰς ὁ Νικόλαος εἰς Ἄθωνα πρὸς βιαίαν τοῦ υἱοῦ αὐτοῦ ἐπιστροφὴν ἐδέξατο τὴν Θείαν Χάριν καὶ μεταστραφεὶς πλήρως ἐκάρη μοναχὸς λαβὼν τὴν κλῆσιν Νικόδημος ἐν τῇ Καλύβῃ τῆς Θείας Ἀναλήψεως, τῆς ἐν τῇ Σκήτῃ τῆς Ἁγίας Ἄννης.

Μετὰ τριετίαν ἀπολύτου νηστείας καὶ προσευχῆς ἠξιώθη θείων ὁραμάτων καὶ ἐγεννήθη αὐτῷ ἡ ἐπιθυμία ὁμολογήσεως τῆς αὐτοῦ πίστεως ἄχρι μαρτυρίου. Πρὸς τοῦτο ἔλαβε τὴν εὐλογίαν τοῦ ἐν Καυσοκαλυβίοις Γέροντος Ἀκακίου καὶ ἀνεχώρησε διὰ τὸ Βεράτιον.

Ἐκεῖ παῤῥησίᾳ ὁμολογῶν τὴν Ὀρθόδοξον πίστιν ἐδικάσθη, εἱρκτῇ παρεδόθη και βασάνους ὑπέμεινεν ἐνώπιον τοῦ τῆς Ἄγαρ ἐκγόνου ἄρχοντος τοῦ τόπου. Οἱ δήμιοι κατεκρήμνισαν αὐτὸν ἐκ τοῦ ὕψους τοῦ κάστρου τοῦ Βερατίου, ἀλλὰ Θείᾳ Χάριτι οὗτος ἀβλαβὴς παρέμεινεν. Ὅθεν βασάνοις νέοις παρεδόθη καὶ ἐν τέλει τὴν κεφαλὴν ἀπετμήθη τῇ 11η τοῦ μηνὸς Ἰουλίου τοῦ σωτηρίου ἔτους 1722. Ἐν αὐτῇ τῇ ἡμέρᾳ τελεῖται καὶ ἡ πανσεβάσμιος αὐτοῦ μνήμη.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.